## XXVII

ὁ πρὶν ἐγὼ καὶ πέντε καὶ ἐννέα, νῦν, Ἀφροδίτη,
ἓν μόλις ἐκ πρώτης νυκτὸς ἐς ἠέλιον.
οἴμοι καὶ τοῦτ' αὐτὸ κατὰ βραχύ, πολλάκι δ' ἤδη
ἡμιθαλές, θνῄσκει· τοῦτο τὸ Τερμέριον.
ὦ γῆρας γῆρας, τί ποθ' ὕστερον ἢν ἀφίκηαι
ποιήσεις, ὅτε νῦν ὧδε μαραινόμεθα;

## XXVIII

Ἀντικράτης ᾔδει τὰ σφαιρικὰ μᾶλλον Ἀράτου
πολλῷ, τὴν ἰδίην δ' οὐκ ἐνόει γένεσιν·
διστάζειν γὰρ ἔφη πότερ' ἐν Κριῷ γεγένηται
ἢ Διδύμοις ἢ τοῖς Ἰχθύσιν ἀμφοτέροις.
εὕρηται δὲ σαφῶς ἐν τοῖς τρισί· καὶ γὰρ ὀχευτής
καὶ μῶρος μαλακός τ' ἐστὶ καὶ ὀψοφάγος.

## XXIX

τρισσοὺς ἀθανάτους χωρεῖ λίθος· ἁ κεφαλὰ γάρ
μανύει τρανῶς Πᾶνα τὸν αἰγόκερων,
στέρνα δὲ καὶ νηδὺς Ἡρακλέα, λοιπὰ δὲ μηρῶν
καὶ κνήμας Ἑρμῆς ὁ πτερόπους ἔλαχεν.
θύειν ἀρνήσῃ, ξένε, μηκέτι· τοῦ γὰρ ἑνός σοι
θύματος οἱ τρισσοὶ δαίμονες ἁπτόμεθα.